www.tezaurliturgic.ro

Γη 925

Συγ. 233.
3/553.

Ν 780

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

# ΠΑΡΑΚΛΗΤΙΚΟΝ

Κατὰ τῆς Πανώλους, περιέχον τέσσαρας Παρακλήσεις· πρώτην μὲν εἰς τὴν κυρίαν ἡμῶν Θεοτόκον· δευτέραν δὲ εἰς τὸν ἅγιον Νικόλαον κοινῶς, καὶ εἰς τὸν ἅγιον Βησσαρίωνα, νέον ἱεράρχην, ἀρχιεπίσκοπον Λαρίσσης· τρίτην δὲ εἰς τὸν ἅγιον νέον ἱερομάρτυρα Σεραφὶμ, καὶ τετάρτην εἰς τὸν ἅγιον Γεώργιον· ποίημα

## ΚΟΣΜΑ

Ἱερομονάχου ἁγιοταφίτου ἐκ χώρας Γάννου.

Προσετέθη εἰς τὸν ἅγιον ἱερομάρτυρα Χαραλάμπην ποίημα Ἰωάσαφ μοναχοῦ Ἁγιωρίτου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἐτυπώθη δὲ νεωστὶ δαπάνῃ καὶ ἀναλώμασι τοῦ Παναγίου Τάφου πρὸς κοινὴν χρῆσιν καὶ ὠφέλειαν πάντων τῶν Ὀρθοδόξων.

ΕΝ ΒΙΕΝΝΗΙ, 1816

Ἐκ τοῦ Ἑλληνικοῦ Τυπογραφείου δὲ Χιρσφέλδ.

www.tezaurliturgic.ro

# Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον, ληφθεὶς ἐκ τῶν κδ΄. χαιρετιστικῶν οἴκων αὐτῆς· ποίημα Κοσμᾶ Ἱερομονάχȣ Γανοχωρίτȣ, διδασκάλȣ τοῦ Παναγίȣ Τάφȣ.

„ Μετὰ τὸν Εὐλογητὸν, τὸ Κύριε εἰσάκουσον, το Θεὸς κύριος, Τῇ Θεοτόκῳ, καὶ τα λοιπὰ συνήθως· ὁ Ν΄.“

Ὠιδὴ α΄. Ὑγρὰν διοδεύσας.

Σοὶ τῇ ὑπερμάχῳ καὶ ϛρατηγῷ, Κόρη ἀναγράφω, νικητήρια τῶν δεινῶν, ἐξ ὧν ἡμᾶς ἐῤῥύσω, θανάτου λοιμικοῦ τε, βοῶντάς σοι τὸ, Χαῖρε νύμφη ἀνύμφευτε.

Ἄγγελος ἐπέμφθη παρὰ Θεοῦ, εἰπεῖν σοι τὸ Χαῖρε τῇ παρθένῳτε καὶ αγνῇ· ὅθεν ἡμᾶς ῥῦσαι, θανάτου ὀλεθρίου, βοῶντάς σοι τὸ, Χαῖρε νύμφη ἀνύμφευτε.

Ὁρῶν σωματούμενον τὸν Θεὸν, ἐν τῇ σῇ νηδύϊ, ὁ Ἀρχάγγελος Γαβριὴλ, ἐξίϛατο κράζων, κινδύνων ῥῦσαι πάντας, βοῶντὰς σοι τὸ, Χαῖρε νύμφη ἀνύμφευτε.

Οἶδας, ὦ παρθένε, τὸ ἐπὶ σοὶ, ἄσπορον καὶ εἶπες, πῶς γεννήσεται ὅπερ φὴς, ἀλλὰ ῥῦσαι πάντας, λοιμοῦ τοῦ ὀξυτάτου, τοὺς κράζοντας ἀπαύϛως τὸ, Ἀλληλούϊα.

Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Γνῶσιν ἄγνωϛον γνῶναι, ἐπιμελῶς θέλουσα, πρὸς τὸν λειτουργοῦντα ἐβόησας παμμακάριϛε, ἀλλὰ λοιμοῦ φθορᾶς, καὶ τῆς πανώλεος λῦσον, τοὺς Χαῖρε σοι βοῶντας νύμφη ἀνύμφευτε.

www.tezaurliturgic.ro



Δύναμις τοῦ ὑψίςου, σοὶ ἐπεσκίασεν Ἄχραντε, τότε πρὸς νηδύος σου σύλληψιν ἀγεώργητον, νῦν δὲ γενοῦ ἡμῖν, τεῖχος, φρουρὸς καὶ προςάτις, τοῖς θέλουσι θερίζειν τὸ, Ἀλληλούϊα.

Ἔχουσα θεὸν λόγον, ἐν τῇ κοιλίᾳ σου Πάναγνε, πρὸς τὴν Ἐλισάβετ ἀνέδραμες προθυμότατα, σπεῦσον καὶ νῦν ἡμᾶς, τῶν συμφορῶν ἐξαρπάσαι, τοὺς κράζοντας τὸ, Χαῖρε νύμφη ἀνύμφευτε.

Ζάλην ἔνδοθεν εἶχεν, ὁ Ἰωσὴφ βλέπων σε, ἔγγυον τε οὖσαν παρθένον καὶ ἀπειρόγαμον, ἀλλὰ σὺ δὸς ἡμῖν, ἀπαλλαγὴν τῶν κινδύνων, τοῖς ἐν πίςει μέλπουσι τὸ, Ἀλληλούϊα.

„ Διάσωσον ἀπὸ κινδύνων· καὶ τὰ λοιπὰ συνήθως."

Ὠιδὴ δ'. Εἰσακήκοα Κύριε.

Τῶν Ἀγγέλων ὡς ἤκουσαν, οἱ ποιμένες ἔγνωσαν σὲ κυήσασαν, ἀλλὰ σὺ ἡμῖν βοήθησον, Θεοτόκε νύμφη χαῖρε ἀνύμφευτε.

Οἱ ποιμένες προσέδραμον, προσκυνήσοντες σὲ κυοφορήσασαν, λοιμικῆς ἡμᾶς ἀπάλλαξον, σὺ Παρθένε ψάλλοντας Ἀλληλούϊα.

Δι' ἀέρος προσῆλθον σοι, μάγοι κόρη σὲ προσκυνήσοντες, πάσης βλάβης ἐλευθέρωσον, ψάλλοντάς σοι Χαῖρε νύμφη ἀνύμφευτε.

Ὥσπερ τούτους διέσωσας, μάγους Κόρη σὺ με ἐξάρπασον, ἀσθενείας τῆς πανώλεος, ψάλλοντα ἐν πίςει τὸ, Ἀλληλούϊα.

Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Ἴδομεν Ἁγνὴ, ἐν χερσί σου τὸν υἱὸν τοῦ Θεοῦ, ἀλλὰ ζάλης ῥῦσαι ἡμᾶς πειρασμῶν, τοὺς προσφωνοῦντάς σοι, Χαῖρε νύμφη ἀνύμφευτε.



Σκέπη κραταιὰ, σὺ ὑπάρχεις ἀντίληψις, καὶ τῆς πανώλεος ὁ ὀλοθρευτής, τοῖς γεραίρουσιν ἐν πίςει τὸ, Ἀλληλούϊα.

Ὥσπερ τοὺς σεπτοὺς, Μάγους κήρυκας ἀπέςειλας, ἐπιβουλῆς δαιμόνων ῥῦσαι ἡμᾶς, τὸ, Χαῖρε μελῳδοῦντάς σοι νύμφη ἀνύμφευτε.

Οὕτω καὶ ἡμεῖς, σὲ κηρύττομεν Θεόνυμφε, ἀντιλήπτορα καὶ ὑπερασπιςὴν τῶν ἐν ἀνάγκαις μέλποντες τὸ, Ἀλληλούϊα.

Ὠιδὴ ς'. Τὴν δέησιν ἐκχεῶ.

Ὡς ἔλαμψας ἐν Αἰγύπτῳ Δέσποινα, καὶ ἠφάνισας δαιμόνων τὸ σκότος, οὕτω τῇ σῇ μεσιτείᾳ Παρθένε, πρὸς τὸν υἱόν σου καὶ πλάςην καὶ κύριον, ἀπέλασον λοιμοῦ φθοράν, των βοώντων, Χαῖρε νύμφη ἀνύμφευτε.

Ὡς ἔσωσας ἐν Αἰγύπτῳ Δέσποινα, τοὺς ἐν σοὶ προσπεφευγότας ἐν πίςει, οὕτω κἀμὲ τῶν κινδύνων ἁρπάσαις, καὶ τῆς φθορᾶς τοῦ λοιμοῦ ἀπαλλάξαις με, βοῶντά σοι δακρυρρόων, ψάλλοντά σοι θερμῶς, Ἀλληλούϊα.

Τῷ μέλλοντι Συμεὼν πρὸς κύριον, τῶν ἐντεῦθεν ἐκδημεῖν σὺ Παρθένε, τὸν σὸν υἱὸν προσκεκόμικας τούτῳ, ἵνα πληρώσῃς τοῦ νόμου τα ἔθιμα, διάσωσον καὶ νῦν ἡμᾶς, μελλῳδοῦντας, Χαῖρε νύμφη ἀνύμφευτε.

Ὁπρεσβύτης Συμεὼν τὸν κύριον, ἐν ἀγκάλαις ὑπεδέξατο χαίρων, ἀλλὰ καὶ σὺ Θεοτόκε παρθένε, ὑπόδεξαι εὐμενῶς σοι προσπίπτοντας, καὶ λύτρωσαι τῶν δυσχερῶν, ψάλλοντάς σοι θερμῶς, Ἀλληλούϊα.

„ Διάσωσον ἀπὸ κινδύνων· καὶ τὰ λοιπά· Αἴτησις, καὶ τὰ λοιπὰ· Προ-
„ ςασία τῶν Χριςιανῶν· καὶ τὰ λοιπά, συνήθως· Εὐαγγέλιον."

Ἐκ τοῦ κατὰ Λουκᾶν· καὶ τὰ λοιπά.

Τῷ καιρῷ ἐκείνῳ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά· γυνὴ δέ τις, ὀνόματι

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Μάρθα, ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. Καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τὸν λόγον αὐτοῦ. Ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν, ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι, ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ, ἵνα μοι συναντιλάβηται. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτῇ· Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά, ἑνὸς δὲ ἐστι χρεία. Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ᾽ αὐτῆς. Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου, εἶπεν αὐτῷ· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας. Αὐτὸς δὲ εἶπε, Μενοῦνγε μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ φυλάσσοντες αὐτόν.

„ Δόξα, Ταῖς τῆς Θεοτόκου· καὶ τὰ λοιπὰ συνήθως· ὁ Ἱερεύς, Σῶσον ὁ Θεὸς τὸν λαόν σου· καὶ τὰ λοιπά."

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Νέαν ἔδειξε κτίσιν, ὁ κτίστης τῶν ἁπάντων ἐν σοὶ κατεσκήνωσεν, ἡμᾶς δὲ σὺ Παρθένε, ἐξάρπασον λοιμοῦ τε καὶ σεισμοῦ καταπτώσεως, ψάλλοντάς σοι, Χαῖρε νύμφη ἀνύμφευτε.

Ξένον τόκον ἰδόντες, ἐξενώθημεν κόσμου καὶ σοὶ προσπίπτομεν, παρθένε Θεοτόκε, ὁδήγησον τοὺς πάντας, πρὸς λιμένα σωτήριον, τοὺς κράζοντας ἐκ πόθου τό, Ἀλληλούϊα.

Ὅλος ἦν ἐν τοῖς κάτω, καὶ τῶν ἄνω οὐδόλως ἀποκεχώρισται, ἐν μήτρᾳ σου σκηνώσας, παρθένε Θεοτόκε, λοιμικῆς ἐξελοῦ ἡμᾶς, ψάλλοντάς σοι, Χαῖρε, νύμφη ἀνύμφευτε.

Πᾶσα φύσις Ἀγγέλων, κατεπλάγη τὸ μέγα τῆς σῆς συλλήψεως, ἡμεῖς δὲ



σε Παρθένε, ἄγκυραν καὶ ἐλπίδα ἔχοντές σε πιστεύομεν, τῆς σωτηρίας ἡμῶν βοῶντες, Ἀλληλούϊα.

Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.

Τοὺς ἀπίστους ἀπέδειξας Παρθένε, ὡς ἀφώνους, ἡμεῖς δὲ σοι βοῶμεν, ἐκ τῶν κινδύνων λύτρωσαι τοὺς δούλους σου, ψάλλοντάς σοι, Χαῖρε, νύμφη τοῦ Κυρίου, ἀνύμφευτε Μαρία.

Σῶσαι θέλων τὸν κόσμον ὁ Κοσμήτωρ, τῶν ἁπάντων, ἐκ σοῦ ἐσωματώθη, ἀλλὰ παντοίων λύτρωσαι τοὺς δούλους σου, θλίψεων καὶ νόσων, κράζοντας ἐν πίστει σοι τό, Ἀλληλούϊα.

Σὺ ὑπάρχεις τὸ τεῖχος τῶν παρθένων, Θεοτόκε λοιμοῦ, λιμοῦ καὶ ζάλης, τρικυμιῶν, σεισμοῦ τε ἀπολύτρωσαι, ψάλλοντάς σοι, Χαῖρε, νύμφη τοῦ Κυρίου, ἀνύμφευτε Μαρία.

Ὕμνος ἅπας ἡττᾶται τῷ μεγέθει, καὶ τῷ πλήθει τῶν χαρίτων Παρθένε, ὧν ἐφ᾽ ἡμᾶς ἐποίησας τοὺς δούλους σου, ψάλλοντας ἐν πίστει, καὶ δοξολογοῦντας σοὶ τό, Ἀλληλούϊα.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Λαμπάδα φωτοδόχον Κόρη ἁγνή, τοῖς ἐν σκότει φανεῖσαν σὲ ἔγνωμεν, τοὺς ὑμνητάς, σκότους ἐξωτέρου καὶ τοῦ πυρός, ἀπάλλαξον τοῦ μέλλοντος· συγχώρησιν αἰτοῦσα παρὰ Θεοῦ, αὐτοῖς καὶ σωτηρίαν, βραβεύουσα τὸ ψάλλειν, τό, Χαῖρε σὺ νύμφη ἀνύμφευτε.

Τὴν χάριν τῶν πταισμάτων δοῦναι ἡμῖν, τοῖς ἀνθρώποις ἐπέστη ὁ Κύριος, σὺ δὲ Ἁγνή, φάνηθι ἐν ὥρᾳ μοι βοηθός, ἐξόδῳ τοῦ θανάτου μου, καὶ ἐν τῇ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



ἐτάσει τῇ φοβερᾷ, φρικτῇ καὶ καταδίκῃ, κριτοῦ φοβερωτάτου, μέλπουτί σοι τὸ, Ἀλληλούϊα.

Τοὺς ψάλλοντας προθύμως σοι τὴν ᾠδὴν, καὶ προσπίπτουτας Κόρη τῇ σκέπῃ σου, καὶ τὴν σεπτὴν, θείαν καὶ εἰκόνα σου εὐλαβῶς, ἀσπαζομένους πρόσδεξαι, πάσης θυμηδίας καὶ τοῦ φωτὸς, ἀξίωσον Παρθένε, τοῦ μέλλοντος αἰῶνος, μέλποντας, Χαῖρε νύμφη ἀνύμφευτε.

Πανύμνητε παρθένε μήτηρ Θεοῦ, δεξαμένη σὺ ταύτην τὴν πρόθεσιν, τοὺς τῷ ναῷ, σοὶ προσερχομένους ῥῦσαι ἡμᾶς, καταδρομῆς παντοίας τε, ἐχθρῶν ἀοράτων καὶ ὁρατῶν, καὶ θείας βασιλείας, ἀξίωσον λιταῖς σου, μέλποντάς σοι τὸ, Ἀλληλούϊα.

„ Ἄξιόν ἐςιν ὡς ἀληθῶς· καὶ τὰ λοιπὰ συνήθως· εἰδὲ βούλει, λέγε καὶ τὰ παρόντα Μεγαλυνάρια."

Δεῦτε εὐφημήσωμεν οἱ πιςοὶ, Ἄνναν τὴν ἁγίαν, τὴν προμήτορα τοῦ Χριςοῦ, τὴν ἀξιωθεῖσαν γεννῆσαι τὴν παρθένον, τὴν μόνην Θεοτόκον καὶ παναμώμητον.

Χαίροις ὁ τὴν χάριν διπλῆν λαβὼν, Ἐλισσαῖε μάκαρ, ὡς ἀκόλουθος Ἠλιοὺ, σὺν αὐτῷ μὴ παύσῃ, πρὸς Κύριον πρεσβεύειν, ἡμᾶς τοῦ λυτρωθῆναι λοιμοῦ καὶ θλίψεως.

Ὥσπερ τοὺς ἀθώους ἐκ τῆς τομῆς, ξίφους ἐλυτρώσω, ὄναρ ἄνακτι ἐπιςὰς, οὕτω ἡμᾶς σῶσον, Νικόλαε τρισμάκαρ, πανωλεθρίας νόσου, τῇ προςασίᾳ σου.

Ἔλαβες τὴν χάριν παρὰ Θεοῦ, θεῖε Βητσαρίων, ἀπαλλάττειν πάντας ἡμᾶς, λοιμικοῦ θανάτου, πανωλεθρίας νόσου, τοὺς ἐπικαλουμένους τὸ σὸν θεῖον ὄνομα.

Οὐκ ἔχομεν ἄλλον πρὸς τὸν Θεὸν, πρέσβυν λυτρωτήν τε, ἀσθενείας τῆς λοιμικῆς, εἰμὴ σὲ τὸν θεῖον, Χριςοῦ τὸν ἀθλοφόρον, Χαραλάμπην ἐν ὕμνοις πάντες τιμήσωμεν.



Χαίροις τῆς Ἑλλάδος ὁ φαεινὸς, φωςὴρ νέος μάρτυς, Σεραφεὶμ ὁ θαυματουργὸς, λοιμικῆς τε νόσου, παντοίων τε κινδύνων, ἡμᾶς ταῖς σαῖς πρεσβείαις ταχέως λύτρωσον.

Χαίροις αἰχμαλώτων ὁ λυτρωτὴς, καὶ κινδυνευόντων, ὁ θερμότατος βοηθὸς, Γεώργιε μάκαρ, σῶσον ἡμᾶς ἀνάγκης, λοιμοῦ τῇ προςασίᾳ σου.

Χαίροις ἀθλοφόρε ὢ τοῦ Χριςοῦ, Μηνᾶ μάρτυς θεῖε, τῶν βαρβάρων ὁ δυσμενὴς, τῶν ληςῶν διώκτης, καὶ ῥύςης τῶν ἐν τούτοις, ἡμᾶς ἐκ πάσης βλάβης, σῶσον τιμῶντάς σε.

Παρθενομαρτύρων ἡ καλλονὴ, Βαρβάρα ἡ θεία, καὶ Μαρίνα ἡ εὐκλεὴς, σοφὴ Αἰκατερίνα, λυτρώσατε τοὺς πόντας, λοιμοῦ πανωλεθρίου, καὶ πάσης θλίψεως.

Πᾶσαι τῶν Ἀγγέλων αἱ ςρατιαί.

„ Τρισάγιον, καὶ τὰ λοιπά· εἶτα τὸ Ἀπολυτίκιον τῆς ἡμέρας.

„ Δόξα, καὶ νῦν, τὸ παρόν. Ἦχος πλδ'.

### Οἱ Μάρτυρές σου Κύριε.

Ἐλπίς μου, καὶ προςάτις μου, καὶ ἀντίληψις, καὶ προσφυγήμου, καὶ καταφύγιον πέλεις Παναχραντε ἁγνὴ, ὅθεν καὶ προσπίπτω πρὸς σὲ Δέσποινα, κράζων καὶ βοῶσοι τὸ, Ἡμάρτηκα, σῶσόν με Κόρη, σῶσον παντὸς κινδύνου, πάσης ἀνάγκης λοιμοῦ καὶ θλίψεως.

„ Ὁ Ἱερεὺς, Ἐλέησον ἡμᾶς ὁ Θεός· καὶ μνημονεύει, οὓς ἂν θέλῃ· καὶ Ἀπόλυσις. Εἰς τὴν προσκύνησιν τῆς εἰκόνος.

Πάντων προςατεύεις Ἀγαθὴ, τῶν καταφευγόντων ἐν πίςει τῇ κραταιᾷ σου·



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



χειρὶ, ἄλλην γὰρ οὐκ ἔχομεν ὁμαρτωλοὶ πρὸς Θεὸν, ἐν κινδύνοις καὶ θλίψεσιν, ἀεί μεσιτείαν, οἱ κατακαμπτόμενοι ὑπὸ πταισμάτων πολλῶν, Μήτηρ τοῦ Θεοῦ τοῦ ὑψίςου, ὅθεν σοι προσπίπτομεν ῥῦσαι, πάσης περιςάσεως τοὺς δούλους σου.

Τὴν πᾶσαν ἐλπίδαμου, εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξὸν με ὑπὸ τὴν σκέπην σου.

---

Ἕτερος κοινῶς εἰς τὸν μέγαν Νικόλαον, καὶ εἰς τὸν ἅγιον νέον Ἱεράρχην καὶ θαυματουργὸν Βησσαρίωνα, Ἀρχιεπίσκοπον Λαρίσσης.

Ποίημα τοῦ αὐτοῦ.

Μετὰ τὸν Εὐλογητόν, καὶ τὰ λοιπὰ, τὸ παρὸν· ἦχος δ'.

Τῇ Θεοτόκῳ ἐκτενῶς.

Ὡς Ἱεράρχαι τοῦ Χριςοῦ παμμακάριςοι, καὶ ἑτοιμότατοι πιςῶν ἀντιλήπτορες, τοὺς τῇ σκέπῃ προσφυγόντας θείᾳ τῇ ὑμῶν, σώσατε ἐκ θλίψεως καὶ κινδύνων παντοίων, πάσης κακουχίας τε λοιμικῆς ἀσθενείας, καὶ τῶν σκανδάλων βλάβης τοῦ ἐχθροῦ, ταῖς προςασίαις ὑμῶν πανασίδιμοι.

Δόξα, τὸ αὐτὸ· Καὶ νῦν, Τῇ Θεοτόκῳ ἐκτενῶς· ὁ Ν'.

Ὠιδὴ α'. Ὑγρὰν διοδεύσας.

Ἐν δεινοῖς ὑπάρχων καὶ συμφοραῖς, πρὸς ὑμᾶς προςρέχω, ἱεράρχαι φωτοειδεῖς, Νικόλαε μάκαρ, καὶ θεῖε Βησσαρίων, τῶν δυσχερῶν καὶ λοιμοῦ ἐξαρπάσαι με.

Παθῶν δεινοτάτων καὶ συμφορῶν, λυτρώσασθε θεῖοι, ἱεράρχαι οἱ τοῦ Χριςοῦ, Νικόλαε μάκαρ, καὶ θεῖε Βησσαρίων, τοὺς ἐφ' ὑμᾶς νῦν πιςῶς καταφεύγοντας.



Παντοίων κινδύνων καὶ πειρασμῶν, θεῖοι ἱεράρχαι, ἐξαρπάσατε καὶ λοιμοῦ, Νικόλαε μάκαρ, καὶ θεῖε Βησσαρίων, τοὺς νῦν τῇ σκέπῃ ὑμῶν καταφεύγοντας.

Σωτῆρα τεκοῦσαν σε καὶ Θεὸν, δυσωπῶ Παρθένε, λυτρωθῆναι με τῶν δεινῶν, σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.

Λοιμικῶν νοσημάτων, τρικυμιῶν, ζάλης τε, θεῖοι ἱεράρχαι καὶ μέγιςοι ἀντιλήπτορες, τοὺς ἐν τῇ σκέπῃ ὑμῶν, προσπεφευγότας ἐν πίςει, λυτρώσατε ὡς τάχος καὶ πάσης θλίψεως.

Συμφορῶν καὶ κινδύνων, παντοδαπῶν ἅγιοι, γῆς τε καὶ θαλάσσης παντοίας ἄλλης τε περιςάσεως, ὦ Βησσαρίων σοφὲ, θεῖε Νικόλαε μάκαρ, πάντας ἐκλυτρώσατε τοὺς ἱκετεύοντας.

Λοιμικῆς ἀσθενείας, καὶ τρικυμίας καὶ θλίψεως, γῆς τε καὶ θαλάσσης παντοίας ἄλλης τε περιςάσεως, ταῖς προςασίαις ὑμῶν, ὦ ἱεράρχαι Κυρίου, θεῖοι ἀντιλήπτορες πάντας λυτρώσατε.

Προςασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σὲ θεογεννῆτορ Παρθένε, σύμε κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιςῶν τὸ ςήριγμα μόνη Πανύμνητε.

Διασώσατε ἀπὸ κινδύνων τοὺς δούλους ὑμῶν ἱεράρχαι, ὅτι πάντες ὑμᾶς ἐν δεινοῖς ἀεὶ προβαλλόμεθα, ὡς θείους φρουροὺς ὁμοῦ καὶ προςάτας.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε.

„ Καὶ μνημονεύει ὁ Ἱερεύς. Εἶτα τὸ παρόν.

www.tezaurliturgic.ro



### Πρεσβεία θερμή.

Πρεσβείαις ὑμῶν ἀπαύστοις πρὸς τὸν Κύριον, Βησσαρίων σοφὲ, καὶ θεῖε Νικόλαε, τῶν κινδύνων λυτρώσασθε, τοὺς πιστῶς πρὸς ὑμᾶς προστρέχοντας, καὶ λοιμικοῦ θανάτου καὶ φθορᾶς, ὡς θεῖοι προστάται καὶ ὑπέρμαχοι.

### Ὠιδὴ δ'. Εἰσακήκοα Κύριε.

Ὡς προστάται καὶ πρόμαχοι, θεῖε Βησσαρίων, μάκαρ Νικόλαε, τῶν κινδύνων ἐξαρπάσατε, τοὺς ὑμῶν τῇ σκέπῃ καταφεύγοντας.

Λοιμικῆς ἀπαλλάξατε, θεῖε Βησσαρίων, μάκαρ Νικόλαε, τρικυμίας καὶ κακώσεως, τοὺς ὑμῶν ἱκέτας καὶ θεράποντας.

Ἀσθενείας πανώλεος, καὶ κινδύνων ἄλλων, καὶ περιστάσεων, ἱεράρχαι ἐξαρπάσατε, ταῖς θερμαῖς λιταῖς ἡμᾶς πρὸς Κύριον.

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε Πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

### Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Σώσατε ἡμᾶς, ἐκ κινδύνων καὶ κακώσεων, παντοίας ἀσθενείας καὶ συμφορᾶς, Νικόλαε θεῖε καὶ Βησσαρίων μακάριε.

Σώσατε ἡμᾶς, ἐκ παντοίας περιστάσεως, προσπίπτοντας ὑμῖν οἰκτρῶς, ταῖς πρὸς Θεὸν μεσιτείαις ὑμῶν πανόλβιοι.

Σώσατε ἡμᾶς, ἱεράρχαι παμμακάριστοι, παντὸς κινδύνου, βλάβης καὶ συμφορᾶς, ἐπιδρομῆς τῶν βαρβάρων καὶ τῆς πανώλεος.

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων Θεοτόκε ἁγνὴ, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν.



### Ὠιδὴ ς'. Τὴν δέησιν ἐκχεῶ.

Νικόλαε, Βησσαρίων μέγιστοι, ἱεράρχαι τοῦ Χριστοῦ θεοφόροι, τοὺς ἐφ' ὑμᾶς νῦν προσφεύγοντας πίστει, καὶ δεομένους θερμῶς, ἐκλυτρώσασθε, πανώλεος, βλάβης καὶ φθορᾶς, τρικυμίας θαλάσσης καὶ θλίψεως.

Τρισμέγιστοι ἱεράρχαι ἔνδοξοι, τῶν κινδύνων ἐξαρπάσατε τάχος, τοὺς ἐφ' ὑμᾶς καταφεύγοντας πίστει, δακρυῤῥοοῦντας καὶ κράζοντας ἅγιε, Νικόλαε σῶσον ἡμᾶς, καὶ σὺ Βησσαρίων πανθαύμαστε.

Λυτρώσατε πάσης βλάβης ἅγιοι, καὶ θανάτου λοιμικοῦ καὶ κινδύνων, βαρβαρικῶν, λῃστρικῶν τε ἐφόδων, τοὺς προσφυγόντας ἐν πίστει τῇ σκέπῃ ὑμῶν, Νικόλαε πάντας ἡμᾶς, καὶ σὺ Βησσαρίων πανεύφημοι.

Προστάτην σε τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην Παρθένε, τῶν πειρασμῶν διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν, καὶ δέομαι διαπαντὸς, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Διασώσατε ἀπὸ κινδύνων τοὺς δούλους ὑμῶν ἱεράρχαι, ὅτι πάντες ὑμᾶς ἐν δεινοῖς ἀεὶ προβαλλόμεθα, ὡς θείους φρουροὺς ὁμοῦ καὶ προστάτας.

Ἄχραντε ἡ διὰ λόγου τὸν λόγον ἀνερμηνεύτως.

„ Καὶ μνημονεύει ὁ Ἱερεὺς· εἶτα τὰ παρόν.

### Προστασία τῶν Χριστιανῶν.

Προστάται, βοηθοὶ καὶ θεῖοι ἀντιλήπτορες, μεσῖται θερμοὶ πρὸς τὸν Θεὸν ἀμετάτρεπτοι, Βησσαρίων ἔνδοξε καὶ θεῖε Νικόλαε, προφθάσατε ὡς συμπαθεῖς, καὶ ῥύσασθε ἡμᾶς κινδύνων, λοιμοῦ τε καὶ τῶν θλίψεων, πρόθυμοι εἰς πρεσβείαν, ταχεῖς τε εἰς ἱκεσίαν, πρὸς τὸν Θεὸν ὑπὲρ ἡμῶν, ἱεράρχαι παμμακάριστοι

www.tezaurliturgic.ro



„ Προκείμενον· Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην· Εὐαγγέλιον.

### Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὑμεῖς ἐςὲ τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· οὐ δὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίςων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιςος κληθὴσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

„ Δόξα, Ταῖς τῶν θειοτάτων πρεσβείαις ἐλεῆμον·

„ Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου. Ἐλέησόν με ὁ Θεὸς.

### Ὅλην ἀποθέμενοι.

Ἱεράρχαι μέγιςοι, καὶ πρὸς Θεὸν ἡμῶν πρέσβεις, Βησσαρίων ἔνδοξε, ἱερὲ Νικόλαε οἱ θερμότατοι· τῶν πιςῶν ςήριγμα, ἱερέων δόξα, μοναζόντων ἐγκαλλώπισμα, δικαίων πρόμαχοι, καὶ τῶν πτωχευόντων διάσωσμα, κινδύνων ἐκλυτρώσασθε, τοὺς προσκαλουμένους ὑμᾶς ἐν πίςει, λοιμικῆς τε νόσου, παντοίων δυσχερῶν καὶ λυπηρῶν, δαιμονικῆς ἐπιθέσεως, ληςρικῆς ἐφόδου τε.

„ Ὁ Ἱερεὺς· Σῶσον ὁ Θεὸς τὸν λαὸν σου· καὶ τὰ λοιπά.



### Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Πολυτρόπων βασάνων, καὶ παντοίων κινδύνων, καὶ πάσης θλίψεως, λυτρώσατε τοὺς πάντας, Νικόλαε τρισμάκαρ, Βησσαρίων τρισμέγιςε, ἵνα τιμῶμεν πιςῶς ὑμᾶς εἰς τοὺς αἰῶνας.

Σωτηρίας λιμένα, καὶ παθῶν πολυτρόπων, καὶ νοσημάτων δεινῶν, κεκτήμεθα πλουτοῦντες, φρουροὺς καὶ ἰατῆρας, καὶ θερμοὺς ἀντιλήπτορας, ὑμᾶς τοὺς ἱεράρχας, Χριςὸν δοξολογοῦντες.

Ὀλετῆρας πανώλους, τρικυμίας θαλάσσης, ἐπιφορῶν χαλεπῶν, κεκτήμεθα προςάτας, ὑμᾶς τοὺς ἱεράρχας, πρεσβευτὰς πρὸς Θεὸν ἡμῶν, Νικόλαε τρισμάκαρ, καὶ θεῖε Βησσαρίων.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωςίας θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν σωτῆρα Χριςὸν ἡμῖν ἀποτεκοῦσα.

### Ὠιδὴ ἡ΄. Τὸν βασιλέα τῶν οὐρανῶν.

Τοὺς τρισμεγίςους τοὺς Χριςοῦ ἱεράρχας, εὐφημοῦμεν ὡς φρουροὺς καὶ προςάτας, λοιμικῆς τε νόσου φθορεῖς καὶ ὀλετῆρας.

Τὸν Βησσαρίωνα καὶ Χριςοῦ ἱεράρχας, εὐφημοῦμεν Νικόλαον τὸν μέγαν, λοιμικῆς τε νόσου κινδύνων τε σωτῆρας.

Τοὺς ποιμενάρχας τῆς Χριςοῦ Ἐκκλησίας, λογικῶν τε προβάτων προςάτας, λοιμικῆς τε νόσου τιμῶμεν ἰατῆρας.

Κοσμοχαρμόσυνον Θεοτόκε παρθένε, σὺ ὑπάρχεις τὸ κλέος καὶ τὸ σέβος, δίωξον τὸ νέφος παντοίων τῶν κινδύνων.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Ὠιδὴ θ'. Κυρίως Θεοτόκον.

Ὁ μύστης τῶν ἀρρήτων, Νικόλαος ὁ θεῖος, καὶ Βησσαρίων ὁ ἔνθεος πρόμαχος, ἐκ τῶν κινδύνων λυτρώσασθε τὰς ψυχὰς ἡμῶν.

Σὺ τοῦ λαοῦ ἡ νίκη, νίκησον τὴν ζάλην τῶν νοσημάτων, κινδύνων καὶ θλίψεων, καὶ σὺ Βησσαρίων πάντας τούτων ἐκλύτρωσαι.

Μέγας φρουρὸς καὶ ῥύστης, πέλεις ἱεράρχα, Νικόλαε θεῖε καὶ Βησσαρίων σοφὲ, ῥύσασθε πάντας κινδύνων καὶ περιστάσεων.

Ἀπείρανδρε Μαρία, κεχαριτωμένη, οἱ διὰ σοῦ τῶν δεινῶν ἐκλυτρούμενοι, σὺν ἀσωμάτοις χορείαις σὲ μεγαλύνομεν.

„ Ἄξιόν ἐστιν ὡς ἀληθῶς· Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν.

„ Καὶ τὰ παρόντα Μεγαλυνάρια τῶν ἁγίων.

Ὥσπερ τοὺς ἀθώους ἐκ τῆς τομῆς, ξίφους ἐλυτρώσω, ὄναρ ἄνακτι ἐπιστὰς, οὕτως ἡμᾶς σῶσον, Νικόλαε τρισμάκαρ, πανωλεθρίας νόσου τῇ προστασίᾳ σου.

Ἔλαβες τὴν χάριν παρὰ Θεοῦ, θεῖε Βησσαρίων, ἀπαλλάττειν πάντας ἡμᾶς, λοιμικοῦ θανάτου, πανωλεθρίας νόσου, τοὺς ἐπικαλουμένους τὸ σὸν θεῖον ὄνομα.

„ Εἰδὲ βούλει, ζήτει καὶ εἰς τὴν Παράκλησιν τῆς Θεοτόκου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί.

Τρισάγιον· καὶ τὰ λοιπά. Εἶτα τὸ Ἀπολυτίκιον τῆς ἡμέρας.

Δόξα, τὸ παρόν· Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ἱεραρχῶν τὴν θαυμαστὴν ξυνωρίδα, ἀνευφημήσωμεν πιστοὶ κατὰ χρέος, τὸν Νικόλαον θεῖον Βησσαρίωνα· οὗτοι γὰρ ἐφάνησαν, ποταμοὶ τῶν θαυμάτων, φάλαγγα διώξαντες, λοιμικῶν νοσημάτων, τῶν ὀρθοδόξων πάντων καὶ πιστῶν, ἑορταζόντων αὐτῶν τὸ μνημόσυνον·



Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

„ Ὁ ἱερεὺς, Ἐλέησον ἡμᾶς ὁ Θεὸς· καὶ τὰ λοιπὰ, καὶ Ἀπόλυσις.

„ Εἶτα τὸ παρόν. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Πάντων οἱ προστάται καὶ θερμοὶ, πρέσβεις πρὸς Θεὸν καὶ μεσῖται, ὑπὲρ ἡμῶν τῶν πιστῶν, μέγιστε Νικόλαε, καὶ Βησσαρίων σοφὲ, ἐκ κινδύνων λυτρώσασθε, ὑμῶν τοὺς οἰκέτας, νόσου ὀλεθρίας τε καὶ τῶν βαρβάρων ὁρμῆς, ζάλης, τρικυμίας καὶ σάλου, γῆς τε καὶ θαλάσσης καὶ πάσης, ἄλλης περιστάσεως καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

---

Ἕτερος εἰς τὸν ἅγιον νέον ἱερομάρτυρα καὶ θαυματουργὸν Σεραφείμ. Ποίημα τοῦ αὐτοῦ.

Μετὰ τὸν Εὐλογητὸν, καὶ τὰ λοιπὰ, τὸ παρόν. Ἦχος δ'.

Τῇ Θεοτόκῳ ἐκτενῶς.

Ἱερομάρτυρι τῷ νέῳ προσπέσωμεν, καὶ τὴν εἰκόνα τὴν αὐτοῦ ἀσπαζόμενοι, ἀπὸ καρδίας κράξωμεν ἐκ πόθου πρὸς αὐτὸν, μάρτυς συμπαθέστατε Σεραφεὶμ ἀθλοφόρε, λύτρωσαι τοὺς δούλους σου λοιμικῆς ἀσθενείας, καὶ πάσης ἄλλης βλάβης καὶ φθορᾶς, τοὺς ἐπὶ σοὶ νῦν ἐν πίστει προσφεύγοντας.

„ Δόξα, τὸ αὐτό. Καὶ νῦν, Τῇ Θεοτόκῳ ἐκτενῶς. Ὁ. Ν.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Ὠδὴ ά. Ὑγρὰν διοδεύσας.

Πολλοῖς βυθιζόμενος ἐν δεινοῖς, πρὸς σὲ ἀναπέμπω, ἐκ καρδίας τὸν ς ε-ναγμὸν, ἐξάρπασον τάχει Σεραφεὶμ θεῖε μάρτυς, λοιμοῦ τοῦ ὀξυτάτου, καὶ πάσης θλίψεως.

Ὀυκ ἔχω γὰρ ἄλλον πρὸς τὸν Θεὸν, πρέσβυν λυτρωτήν τε, ἀσθενείας τῆς λοιμικῆς, πανώλεος βλάβης, παντοίων τε κινδύνων, ὦ Σεραφεὶμ τρισμακάριςε.

Θρηνῶ καὶ ὀδύρομαι ἐπὶ σοί, Σεραφεὶμ τρισμάκαρ, ἐξαρπάσαι με τῶν δει-νῶν, πανώλεος βλάβης, παντοίας κακουχίας, ταῖς πρὸς Θεὸν μεσιτείαις σου.

Κλίνω σὺν τῷ γόνατι καὶ ψυχὴν, πρός σὲ Θεοτόκε, λυτρωθῆναι με τοῦ λοιμοῦ, ἔχων πρὸς σέ πρέσβυν, Χριςοῦ τὸν ἀθλοφόρον, τὸν Σεραφεὶμ καὶ τρισμέ-γιςον.

Ὠδὴ γ'. Οὐρανίας ἁψίδος.

Ὁμωνύμως ἐκλήθης, ἀγγελικὸν ὄνομα, πρόφθασον ὀξέως, καὶ τάχος με ἐλευθέρωσον, τῶν δυσχερῶν καὶ δεινῶν, καὶ τῆς πανώλεος βλάβης, ταῖς πρὸς Θεὸν πρεσβείαις καὶ μεσιτείαις σου.

Φερωνύμως ἐκλήθης, ἐμπυρικὰ ςόματα, ὡς ἀποτεφρώσας τῆς Ἄγαρ τὰ μηχανήματα, ἀλλ' ἀποτέφρωσον, λοιμοῦ φθορὰν καὶ πανώλους, Σεραφεὶμ τρισ-μέγιςε τῇ προςασίᾳ σου.

Συνωνύμως ἐκλήθης, σεραφικὸν ὄνομα, φέρων τὸν Θεὸν ἐπὶ ὤμων σου βα-ςαζόμενον, ἀλλ' ἐξελοῦ ἡμᾶς, τῆς λοιμικῆς ἀσθενείας, τοὺς ἐπικαλουμένους σου τὸ θεῖον ὄνομα.

Λοιμικῶν νοσημάτων, παντοδαπῶν Ἄχραντε, πάσης ἄλλης βλάβης, κινδύ-



νων καὶ τῆς πανώλεος, τοῦ Σεραφεὶμ ταῖς λιταῖς, πάντας ἡμᾶς Θεοτόκε, πάν-των τούτων λύτρωσαι Κόρη θεόνυμφε.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου ἀθλοφόρε, ὅτι πάντες σὲ ἐν δει-νοῖς ἀεὶ προβαλλόμεθα, ὡς πρέσβυν πρὸς τὸν Θεὸν καὶ σωτῆρα.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε.

„ Καὶ μνημονεύει ὁ ἱερεύς. Εἶτα τὸ παρόν.

Πρεσβεία θερμή.

Πρεσβείαις ταῖς σαῖς ἀπαύςοις πρὸς τὸν Κύριον, πανώλους δεινῆς, κινδύνων τε καὶ θλίψεων, ἐκ παντοίων λύτρωσαι τοὺς πιςῶς ἐπὶ σοὶ προςρέχοντας, καὶ τῶν παγίδων ῥῦσαι τοῦ ἐχθροῦ, πολύαθλε Σεραφεὶμ πανθαύμαςε.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἱεράρχην ἰσάγγελον, ὁμολογητήν τε Χριςὸς ἀνέδειξε, καὶ πανώλους ἑτοι-μότατον ἰατῆρα, Σεραφεὶμ θεσπέσιε.

Ἐπὶ κλίνης ὀδύνης μου, ἐν κινδύνοις ὄντα με σὺ ἐξάρπασον, καὶ πανώλους ἐλευθέρωσον, Σεραφεὶμ λιταῖς σου πρὸς τὸν Κύριον.

Τῆς Ἑλλάδος ὁ πρόεδρος, νέος μάρτυς θεῖος καὶ ἑτοιμότατος, ἰατὴρ καὶ ῥύςης ἄριςος, τῆς πανώλους καὶ τῶν περιςάσεων.

Ἐπὶ κλίνης ὀδύνης μου, καὶ ἐν ἀσθενείᾳ με κατακείμενον, Θεοτόκε σὺ ἀπάλλαξον, Σεραφεὶμ τοῦ θείου καὶ τρισμάκαρος,



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.

Ῥύςην καὶ θερμὸν, ἰατῆρα τῆς πανώλεος, ἀνέδειξέ σε Χριςὸς ὁ Θεὸς, διὰ τὸ αἷμά σου, ὃ δι' αὐτὸν ἐξέχεας.

Λύτρωσαι ἡμᾶς, τῆς πανώλους καὶ τῶν θλίψεων, δακρυῤῥοοῦντας ἐπὶ σοὶ οἰκτρῶς, σαῖς ἱκεσίαις, τρισμάκαρ, ταῖς πρὸς τὸν Κύριον.

Προσπίπτω σοι θρηνῶν, ταῖς σαῖς πρὸς Κύριον δεήσεσι, ῥυσθῆναι πάσης ἐχθρῶν ἐπιβουλῆς, καὶ τῆς πανώλους μάρτυς πολύαθλε.

Πανύμνητε ἁγνὴ, ταῖς πρεσβείαις τοῦ σεπτοῦ ἀθλητοῦ, λύτρωσαί με κινδύνων καὶ συμφορῶν, καὶ τῆς πανώλεος Κόρη θεόνυμφε.

Ὠιδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ.

Θανάτῳ ἑαυτὸν ἐκδέδωκας, καὶ θανάτου λοιμικοῦ ἀπαλλάττεις, τοὺς ἐπὶ σοὶ κράζοντας δακρυῤῥόως, καὶ ἐκβοῶντας τὸ, Πρόφθασον, ἅγιε, καὶ σῶσον ἡμᾶς τῶν λυπηρῶν, καὶ πανώλεος βλάβης ἀπάλλαξον.

Πρόφθασον, ἐξελοῦ τῶν θλίψεων, καὶ πανώλους ὀλεθρίας παμμάκαρ, τοὺ ἐπὶ σοὶ πεφευγότας ἐν πίςει, καὶ ἱκετεύοντας, κράζοντας, ἅγιε, βοήθησον, Σεραφεὶμ ἡμῖν, ταῖς πρὸς Θεὸν θερμαῖς ἱκεσίαις σου.

Ἐπάκουσον τῶν βοώντων ἅγιε, καὶ κραζόντων δακρυῤῥόως ἐν πίςει, ὅτι πρὸς σὲ τὰς ἐλπίδας ἐκθέντες, μετὰ Θεὸν οὐκ ἔχομεν ἄλλον συλλήπτορα, ὑπέρμαχον καὶ βοηθὸν, τῆς πανώλους καὶ πάσης τῆς θλίψεως.

Πανύμνητε Θεοτόκε δέσποινα, τῶν πιςῶν ἡ σωτηρία καὶ φύλαξ, ταῖς προσευχαῖς Σεραφεὶμ σοῦ τοῦ θείου, καὶ νέου ὁπλίτου ἱερομάρτυρος, ἐπάκουσον ἡμῶν γοργῶς, λομικῆςτε ἀπάλλαξον τάχιςα.



Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου ἀθλοφόρε, καὶ ἐκ πανώλους καὶ παθῶν τοὺς σοὶ καταφεύγοντας, ὡς ἔνθεος πρὸς Χριςὸν ἡμῶν πρέσβυς.

Ἄχραντε ἡ διὰ λόγου τὸν λόγον ἀνερμηνεύτως.

„ Καὶ μνημονεύει ὁ ἱερεύς. Εἶτα τὸ παρόν.

Προςασία τῶν Χριςιανῶν.

Ὡς μαρτύρων καὶ ὁμολογητῶν ἀκροθήνιον, ὁ Χριςός σε τοῖς στεφάνοις μεγάλως κατέςεψε, μεγαλύνων τοῖς θαύμασιν ἀπείροις ἐν τῇ γῇ, ἀλλ' ὡς χάριν παρὰ τοῦ Κυρίου σου δεξάμενος, ἡμᾶς τοὺς πιςῶς σοι προςρέχοντας, λύτρωσαι τῶν κινδύνων, ἀπάλλαξον τῆς πανώλους, καὶ συμφορῶν καὶ δυσχερῶν, ἱερὲ Σεραφεὶμ θεσπέσιε.

„ Προκείμενον. Θαυμαςὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

„ Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακὰς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου Ἀποβήσεται δέ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾷν ἀπολογηθῆναι. Ἐγὼ γὰρ δώσω ὑμῖν ςόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντιπεῖν, ἢ ἀντιςῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ συγγενῶν, καὶ φίλων, καὶ ἀδελφῶν· καὶ θανατώσουσιν ἐξ ὑμῶν. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διά τό ὄνομά μου. Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχάς ὑμῶν.

„ Δόξα, Ταῖς τοῦ ἀθλοφόρου πρεσβείαις ἐλεῆμον.

„ Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου. Ἐλέησόν με ὁ Θεός.

www.tezaurliturgic.ro



Ὅλην ἀποθέμενοι.

Σεραφεὶμ τρισμέγιστε, ἱερουργὲ τοῦ Κυρίου, αἷμά σου τὸ τίμιον, ὅπερ σὺ ἐξέχεας ὑπὲρ πίστεως, τῷ Χριστῷ προσέφερες ὑπὲρ οἰκετῶν σου, τῶν ἐν νόσοις καὶ κακώσεσι δεινῆς πανώλεος, περιστατουμένων ἀθρόως τε, αὐτὸν οὖν ἐκδυσώπησον, ὅπως ἀπαλλάξῃ τῶν θλίψεων, τοὺς προσερχομένους, τῇ σκέπῃ σου ἐν πίστει ἐκ ψυχῆς, καὶ προσκυνοῦντας τὴν θείαν σου, εἰκόνα πανεύφημε.

„ Ὁ ἱερεύς, Σῶσον ὁ Θεὸς τὸν λαόν σου· καὶ τὰ λοιπά.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Δυστυχούντων προστάτης, πέλεις καὶ ὑπέρμαχος τῶν πεποιθότων εἰς σὲ, τὸ αἷμά σου ἐκχέας, ὑπὲρ τῆς εὐσεβείας, Σεραφεὶμ τρισμακάριστε, λύτρωσαι τοὺς πάντας, πανώλους ὀλεθρίας.

Ἐκχέας σου τὸ αἷμα, ὑπὲρ πίστεως μάρτυς ὦ ἱερὲ, καὶ ἔλαβες τὴν χάριν, σοβεῖν καὶ ἐκδιώκειν, λοιμικὴν τὴν ἀσθένειαν, τῶν προστρεχόντων πιστῶς, τῇ σκέπῃ σου τῇ θείᾳ.

Ὑπὲρ Χριστοῦ προθύμως, σὺ τὸ αἷμά σου μάρτυς θεῖε ἐξέχεας, δέδωκε δέ σοι χάριν, Χριστὸς τοῦ ἀπελαύνειν, λοιμικὴν τὴν πανώλεθρον, τῶν δακρυρροούντων ἐπί σοι καὶ πεποιθότων.

Σωτηρία ὑπάρχεις, Θεοτόκε Παρθένε, τῶν πεποιθότων εἰς σὲ, λιταῖς δέ σου τοῦ θείου, Χριστοῦ τοῦ ἀθλοφόρου, εὐμενῶς καταπρᾴυνον, τὴν καθ' ἡμῶν ὀργὴν Θεοῦ ἡμῶν καὶ τοῦ υἱοῦ σου.

Ὠδὴ η'. Τὸν βασιλέα τῶν οὐρανῶν.

Τοὺς πεποιθότας ἐπὶ τὴν σὴν ἀντίληψιν, μὴ παρίδῃς Σεραφεὶμ ἀθλοφόρε, δίωξον λιταῖς σου πανωλεθρίαν νόσον.



Ταῖς πρὸς Θεὸν σου ἀκαταπαύστοις πρεσβείαις, λοιμικὴν ἀποβάλλεις τὴν νόσου, πάντων τῶν τιμώντων Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὀδυρομένων τὸν ὀδυρμὸν μὴ παρίδῃς, ἀλλὰ σπεῦσον καὶ σῶσον τρισμάκαρ λοιμικῆς τε νόσου, ἡμᾶς καὶ τῶν κινδύνων.

Κεχαρωμένους λοιμικῇ ἀσθενείᾳ, σῶσον σὺ παρθένε Θεοτόκε, πρεσβείαις σοῦ τοῦ θείου, Σεραφεὶμ τοῦ ἀθλοφόρου.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ὅλῃ ψυχῇ καὶ γνώμῃ, πρὸς σὲ ἐπελπίζω, τοῦ λυτρωθῆναι κινδύνων καὶ θλίψεων, καὶ λοιμικῶν νοσημάτων θεομακάριστε.

Συγκέρασον ἐλέῳ, ὀργὴν τὴν τοῦ θεοῦ μου, τὴν καθ' ἡμῶν κινουμένην καὶ ῥῦσαι ἡμᾶς, τῆς λοιμικῆς ἀσθενείας ταῖς προστασίαις σου.

Μακρόθυμος ὑπάρχει, μάκαρ, ὁ θεός μου, ἀλλὰ λιταῖς σου καὶ νῦν αὐτὸν καταπρᾴυνον, τοῦ μὴ ἐκτρέψαι ἀθλίως ἐμὲ τὸν ἄθλιον.

Ἀνύμφευτε παρθένε, σῶσον τοὺς ἀθλίους, ἡμᾶς λιταῖς τοῦ σεπτοῦ ἀθλητοῦ, Σεραφεὶμ τῆς πανώλους καὶ περιστάσεως.

„ Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν.

„ Καὶ τὰ παρόντα Μεγαλυνάρια.

Πάντες σοι προσπίπτομεν τῷ Θεῷ, οἱ ἐν ἁμαρτίαις, ἀσθενείας τῆς λοιμικῆς, Σεραφεὶμ τοῦ θείου πρεσβείαις ἐλεῆμον, λιταῖς τῆς Θεοτόκου, ἡμᾶς ἀπάλλαξον.

Χαίροις τῆς Ἑλλάδος ὁ φαεινὸς, φωστὴρ νέος μάρτυς, Σεραφεὶμ ὁ θαυματουργὸς, λοιμικῆς τε νόσου, παντοίων τε κινδύνων, ἡμᾶς ταῖς σαῖς πρεσβείαις ταχέως λύτρωσον.

www.tezaurliturgic.ro



„ Εἰδὲ βούλει, ζήτει και ἄλλα εἰς τὴν Παράκλησιν τῆς Θεοτόκου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ ςρατιαί.

„ Τρισάγιον, καὶ τά λοιπά. Εἶτα τό Ἀπολυτίκιον τῆς ἡμέρας.

„ Δόξα, τὸ παρὸν τοῦ ἁγίου· ἦχος δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποςόλων γενόμενος τὴν πρᾶξιν εὗρες θεόπνευςε, εἰς θεωρίας ἐπίβασιν, διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίςει ἐνήθλησας μέχρις αἵματος, ἱερομάρτυς Σεραφείμ, πρέσβευε Χριςῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

„ Ὁ ἱερεὺς, Ἐλέησον ἡμᾶς ὁ Θεός· καὶ τὰ λοιπά· καὶ Ἀπόλυσις.

Εἰς τὴν προσκύνησιν τῆς εἰκόνος· ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν.

Πάντων προςατεύεις ἀθλητὰ, τῶν προσερχομένων ἐν πίςει, σκέπῃ τῇ θείᾳ τῇ σῇ, καὶ ἐν κατανύξει σε ἱκετευόντων ἀεί, Σεραφεὶμ ὢ τρισμέγισε, ὁπλῖτα Κυρίου, παῦσον τὴν πανώλεθρον καὶ τοῦ λοιμοῦ τὴν φθορὰν, ῥῦσαι καὶ κινδύνων σοὺς δούλους, πάσης ἄλλης βλάβης τε μάκαρ, ταῖς πρὸς τὸν Θεὸν σου παρακλήσεσι.

Τὴν πᾶσαν ἐλπίδαμου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

---

Ἕτερος εἰς τὸν ἅγιον μεγαλομάρτυρα καὶ θαυματουργὸν Γεώργιον.

Ποίημα τοῦ αὐτοῦ.

Μετά τὸν Εὐλογητὸν, καὶ τά λοιπά, τὸ παρὸν. ἦχος δ'.



Τῇ Θεοτόκῳ ἐκτενῶς.

Τῷ σῷ τεμένει τῷ σεπτῷ νῦν προςρέχομεν, καὶ ἐν τῇ σκέπῃ σου τῇ θείᾳ προσπίπτομεν, ἐν κατανύξει κράζομεν δακρύοντες πρὸς σὲ, ἅγιε Γεώργιε, αἰχμαλώτων ὁ ῥύςης, πρόφθασον καὶ λύτρωσον, ἐκ παντοίων κινδύνων, τοὺς προσκυνοῦντας πόθῳ ἐκ ψυχῆς, τὴν σεβασμίαν καὶ θείαν εἰκόνα σου.

„ Δόξα, Τὸ αὐτό. Καὶ νῦν. Τῇ Θεοτόκῳ ἐκτενῶς. ὁ Ν'.

Ὠιδὴ α'. Ὑγρὰν διοδεύσας.

Πολλαῖς συνεχόμενος συμφοραῖς, πρὸς σε καταφεύγω, λυτρωθῆναι με πειρασμῶν, ἐφόδου λῃςῶν τε καὶ κινδύνων, καὶ τῆς πανώλους, Γεώργιε μέγιςε.

Παθῶν ταραττόμενος προσβολαῖς, πρὸς σε νῦν προςρέχω, ὡς προςάτην καὶ βοηθὸν, λύτρωσαί με τούτων, Γεώργιε τρισμάκαρ, τῇ πρὸς Θεὸν θερμῇ μεσιτείᾳ σου.

Σωτῆρα σὲ ἔχομεν τῶν δεινῶν, Γεώργιε μάκαρ, ἀσθενείας τῆς λοιμικῆς, κινδύνων λῃςῶν τε καὶ βαρβάρων, ἐπιδρομῆς τε καὶ πάσης κακώσεως.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχὴν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Ὠιδὴ γ'. Οὐρανιάς ἀψίδος.

Λοιμικῶν νοσημάτων, καὶ συμφορῶν κύμασιν, ἔχομέν σε ῥύςην καὶ μέγιςον ἀντιλήπτορα, καὶ ταῖς βαρβάρων ἑρμαῖς, ἀλλὰ λιταῖς σου ταῖς θείαις, πάντων τούτων λύτρωσαι μάρτυς Γεώργιε.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Σὺ προστάτης ὑπάρχεις, τῶν δυστυχούντων Γεώργιε, καὶ κινδυνευόντων ὑπέρμαχος καὶ ἀντίληψις, καὶ τῆς πανώλους ὀξὺς, ὀλοθρευτὴς καὶ διώκτης, λῃστῶν τε ἀντίμαχος Θεομακάριστε.

Λῃστρικῆς τε ἐφόδου, καὶ τῶν δεινῶν ἅγιε, καὶ τῆς λοιμικῆς ἀσθενείας ὁ ἑτοιμότατος, ῥύστης καὶ πρόμαχος, ὁ βοηθὸς καὶ προστάτης, πάσης ἄλλης θλίψεως, μάρτυς Γεώργιε.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε σὺ μοι βοήθησον, τῶν ἰαμάτων γὰρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρὸν πανάμωμε τὸν ἀδαπάνητον.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου ἀθλοφόρε, ὅτι πάντες σε ἐν δεινοῖς ἀεὶ προβαλλόμεθα, ὡς πρέσβυν πρὸς τὸν Θεὸν καὶ σωτῆρα.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε.

„ Καὶ μνημονεύει ὁ Ἱερεύς. Εἶτα τὸ παρόν.

Πρεσβεία θερμή.

Πρεσβείᾳ θερμῇ τῇ σῇ πρὸς τὸν Κύριον, πανώλους ἡμᾶς ἐκλύτρωσαι τοὺς δούλους σου, τοὺς ἐπὶ σοὶ προσφεύγοντας, ἐπιδρομῆς τε βαρβάρων ἅγιε, καὶ τῶν παγίδων ἔτι τοῦ ἐχθροῦ, παντὸς κινδύνου τε Γεώργιε μέγιστε.

Ὠιδὴ δ'. Εἰσακήκοα Κύριε.

Τοῖς προστρέχουσιν ἅγιε, σκέπη σου τῇ θείᾳ γενοῦ ἀντίληψις, καὶ πανώλους προθυμότατος, ἰατὴρ τρισμέγιστε Γεώργιε.

Τῶν βαρβάρων τὴν ἔφοδον, δίωξον λιταῖς σου ταῖς πρὸς Θεὸν ἡμῶν, καὶ πανώλους ἐλευθέρωσον, καὶ κινδύνων μάκαρ τοὺς τιμῶντάς σε.



Σὺ ἐφάνης ἀντίληψις, ἄλλων τε πολλῶν καὶ ἐμοῦ τοῦ δούλου σου, καὶ κινδύνων ἠλευθέρωσας, λῃστρικῶν ἐφόδων καὶ πανώλεος.

Ἐπὶ κλίνης ὀδύνης μου, καὶ τῆς ἀῤῥωστίας κατακειμένῳ μοι, ὡς φιλάγαθος βοήθησον, Θεοτόκε μόνη ἀειπάρθενε.

Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων καὶ κακώσεων, βαρβαρικῆς ἐφόδου καὶ συμφορᾶς, καὶ λοιμικῶν νοσημάτων μάκαρ Γεώργιε.

Λύτρωσαι ἡμᾶς, ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, ἀνομβρίας καὶ λιμοῦ συμφορᾶς, καὶ πάσης ἄλλης βλάβης τε μάκαρ Γεώργιε.

Σῶσον τοὺς εἰς σὲ, πεποιθότας ἡμᾶς ἅγιε, ἐκ τῶν κινδύνων καὶ τῶν δυσχερῶν, καὶ τῆς πανώλεος μάρτυς μάκαρ Γεώργιε.

Ἴασαι ἁγνὴ, τῆς ψυχῆς μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν τῇ πρεσβείᾳ σου παράσχου μοι.

Ὠιδὴ ς'. Τὴν δέησιν ἐκχεῶ.

Θανάτου τοῦ λοιμικοῦ ἀπάλλαξον, τοὺς εἰς σὲ προσπεφευγότας ἐν πίστει, δακρυῤῥοοῦντας καὶ κλίνοντας γόνυ, καὶ ἐκβοῶντας τὸ, Πρόφθασον ἅγιε, καὶ σῶσον ἡμᾶς ἐπιδρομῆς, τῶν βαρβάρων παμμάκαρ Γεώργιε.

Ἐξάρπασον συμφορῶν μακάριε, καὶ δεινῆς πανωλεθρίας καὶ ζάλης, τρικυμιῶν, ἀστραπῶν καὶ χαλάζης, καὶ πάσης ἡμᾶς δεινῆς περιστάσεως, ἀκρίδος τε καὶ τοῦ λιμοῦ, ταῖς πρὸς Θεὸν θερμαῖς ἱκεσίαις σου.

Ὡς ἔσωσας νεανίαν ἅγιε, τῆς δεινῆς αἰχμαλωσίας τὸ πάλαι, οὕτω κἀμὲ



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



νῦν ἐκλύτρωσαι μάκαρ, τῇ πρὸς Θεὸν θερμῇ μεσιτείᾳ σου, πανώλεος βλάβης καὶ φθορᾶς, συμφορῶν καὶ κινδύνων Γεώργιε.

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔςιν ἴασις τῇ σαρκίμου, ἀλλ' ἡ Θεὸν καὶ σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς, ἐκ φθορᾶς νοσημάτων ἀνάςησον.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου ἀθλοφόρε, καὶ ἐκ πανώλους καὶ παθῶν τοὺς σοι καταφεύγοντας, ὡς ἔνθεος πρὸς Χριςὸν ἡμῶν πρέσβυς.

Ἄχραντε ἡ διὰ λόγου τὸν λόγον ἀνερμηνεύτως.

„ Καὶ μνημονεύει ὁ ἱερεύς. Εἶτα τὸ παρόν.

### Προςασία τῶν Χριςιανῶν.

Προςασία καὶ σκέπη φρουρὸς καὶ ὑπέρμαχος, ὑπάρχεις ἡ μὴν τοῖς ἐν πίςει προςρέχουσι, μὴ παρίδῃς ἡμῶν τῶν ἱκετῶν σου τὰς φωνὰς, ἀλλὰ πρόφθασον ὡς συμπαθὴς, καὶ ῥῦσαι ἡμᾶς ἀνάγκης κινδύνων τε καὶ θλίψεων, δαίμονοςι τῶν παγίδων, βαρβάρων ἐπιδρομῆς τε, καὶ πανώλεος βλάβης καὶ φθορᾶς, πολίαθλε Γεώργιε μέγιςε.

„ Προκείμενον. Θαυμαςὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

„ Εὐαγγέλιον, ζήτει εἰς τὴν Παράκλησιν τοῦ ὁγίου Σεραφείμ.

„ Δόξα, Ταῖς τοῦ ἀθλοφόρου πρεσβείαις ἐλεῆμον.

„ Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου πρεσβείαις. Ἐλέησόν με ὁ Θεός.

### Ὅλην ἀποθέμενοι.

Ἀθλοφόρε μέγιςε, καὶ τοῦ Κυρίου ὁπλίτα, μάρτυς συμπαθέςατε, ἀθλητὰ Γεώργιε καὶ ἀήττητε, τῶν πιςῶν καύχημα, ὁ φρουρὸς καὶ φύλαξ, μὴ παρίδῃς



τοὺς ἱκέτας σου, ἀλλὰ σὺ πρόφθασον, καὶ ἐκ τῶν κινδύνων ἐξάρπασον, πανώλους ἀσθενείας τε, καὶ βαρβαρικῆς ἐπιθέσεως, πάντων δυσχερῶν τε, δαιμόνων ἐπηρείας καὶ ἐχθρῶν, ταῖς σαῖς πρεσβείαις πρὸς Κύριον, καὶ ταῖς παρακλήσεσιν.

Ὁ ἱερεύς. Σῶσον ὁ Θεός· καὶ τὰ λοιπά.

### Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Λοιμικῆς ἀσθενείας, καὶ κινδύνων παντοίων καὶ νοσημάτων φθορᾶς, ἐξάρπασόν με τάχος, θερμαῖς ταῖς ἱκεσίαις πρὸς Θεὸν καὶ δεήσεσι, ταῖς σαῖς μεγαλομάρτυς Γεώργιε τρισμάκαρ.

Ψυχικῶν νοσημάτων, καὶ τοῦ σώματος τάχος με σὺ ἀπάλλαξον, Γεώργιε τρισμάκαρ, ἐπιβουλῆς παντοίας δαιμόνων καὶ δεινῆς περιςάσεως, καὶ τῆς αἰχμαλωσίας καὶ πάσης κακουχίας.

Ϛρατιῶτα ὁπλίτα, ἀθλοφόρε γενναῖε μεγαλομάρτυς Χριςοῦ, πρόφθασον ἐν κινδύνοις, πρόφθασον ἐν ταῖς θλίψεσι, καὶ λύτρωσαι λιταῖς σου ἡμᾶς τοὺς σοὺς οἰκέτας.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωςίας Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ θεραπεύειν ἀξίωσον, ἡ τὸν σωτῆρα Χριςὸν ἡμῖν ἀποτεκοῦσα.

### Ὠιδὴ η'. Τὸν βασιλέα τῶν οὐρανῶν.

Τὸν ἀριςέα σε τοῦ Χριςοῦ ςρατιώτην, ἱκετεύω τοῦ ῥυσθῆναί με πάσης, βλάβης λοιμικῆς τε καὶ νόσου ὀλεθρίας.

Τὸν τροπαιοῦχόν σε τοῦ Χριςοῦ ἀθλοφόρον, ἱκετεύω Γεώργιε τρισμάκαρ, λύτρωσαί με τάχος ἐπιβουλῆς δαιμόνων.

Τὸν γεωργόν σε τῆς εὐσεβείας ὁπλίτην, ἱκετεύω τὸν θερμὸν καὶ προστάτην ἵνα με λυτρώσῃς πανωλεθρίας νόσου.

Κεκοσμημένον σὺ ἀνεδείχθης Παρθένε, τῶν χαρίτων τοῦ πνεύματος δοχεῖον, ὅθεν λύτρωσαί με λοιμοῦ τοῦ ὀξυτάτου.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ὅλος ἐγὼ προσπίπτω, σκέπῃ σου τῇ θείᾳ, τοῦ λυτρωθῆναι παμμάκαρ με νόσου δεινῆς, ἐπιδρομῆς τῶν βαρβάρων καὶ περιστάσεως.

Σωτῆρα καὶ προστάτην, σὲ ἐπικαλοῦμαι, ἵνα προφθάσῃς ἐν τάχει καὶ ἐκλυτρώσῃς με, τῆς τῶν δαιμόνων ἀπάτης φρενοβλαβείας τε.

Μακάριόν σε τέλος, ἐδέξατο τρισμάκαρ, μεγαλομάρτυς θεῖε Χριστοῦ Γεώργιε, ὅθεν ἡμᾶς πάντας πάσης λύτρωσαι θλίψεως.

Ἀνύμφευτε παρθένε, Μήτηρ Θεοτόκε, λοιμοῦ φθορᾶς καὶ θλίψεως με ἀπάλλαξον, λιταῖς Γεωργίου τοῦ θείου μεγαλομάρτυρος.

„ Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν.

„ Καὶ τὰ παρόντα Μεγαλυνάρια τοῦ ἁγίου.

Χαίροις αἰχμαλώτων ὁ λυτρωτὴς, καὶ κινδυνευόντων ὁ θερμότατος βοηθὸς, Γεώργιε μάκαρ σῶσον ἡμᾶς ἀνάγκης, λοιμοῦ πανωλεθρίου, τῇ προστασίᾳ σου.

Χαίροις τῶν μαρτύρων ἡ καλλονὴ, καὶ τοῦ διαβόλου ὁ ἀντίμαχος καὶ ἐχθρὸς, Γεώργιε μάκαρ ῥῦσαι πάντας κινδύνων, λοιμοῦ τοῦ ὀξυτάτου, καὶ πάσης θλίψεως.

Πρόφθασον καὶ λύτρωσον ἀθλητὰ, Γεώργιε μάκαρ, τῆς βαρβάρων ἐπιδρομῆς, λοιμοῦ πανωλεθρίου, παντὸς ἄλλου κινδύνου, ταῖς πρὸς Θεὸν λιταῖς σου καὶ παρακλήσεσι.



Λύτρωσαι τοὺς δούλους σου ἀθλητὰ, λῃστρικῆς ἐφόδου, καὶ βαρβάρων ἐπιδρομῆς, λοιμικῆς τε νόσου, παντοίων δυσχερῶν τε, Γεώργιε τρισμάκαρ, τῇ προστασίᾳ σου.

„ Εἰδὲ βούλει, ζήτει καὶ εἰς τὴν Παράκλησιν τῆς Θεοτόκου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί.

„ Τρισάγιον, καὶ τὰ λοιπά· Εἶτα τὸ Ἀπολυτίκιον τῆς ἡμέρας.

Δόξα, τὸ παρὸν τοῦ ἁγίου· ἦχος δ'.

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτὴς, καὶ τῶν πτωχῶν ὑπερασπιστὴς, ἀσθενούντων ἰατρὸς, βασιλέων ὑπέρμαχος, τροπαιοφόρε μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Καὶ νῦν·

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Ὁ ἱερεὺς, Ἐλέησον ἡμᾶς ὁ Θεός· καὶ τὰ λοιπά· καὶ Ἀπόλυσις.

Εἰς τὴν προσκύνησιν τῆς εἰκόνος τοῦ ἁγίου.

Ὅτε ἐκ τοῦ ξύλου σὲ νεκρόν.

Πάντων ἀθλοφόρε ὁ φρουρὸς, καὶ καταφυγὴ σὺ ὑπάρχεις, τῶν προσφυγόντων εἰς σέ, ἅγιε Γεώργιε μεγαλομάρτυς Χριστοῦ, ἐκ κινδύνων καὶ θλίψεων, τῇ σῇ προστασίᾳ, λύτρωσαι τοὺς δούλους σου καὶ λοιμικῆς τῆς φθορᾶς, πάσης περιστάσεως ἄλλης, τοὺς ἀσπαζομένους ἐν πίστει, τὴν σεπτὴν καὶ θείαν σου ἐμφέρειαν.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

www.tezaurliturgic.ro
ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

www.tezaurliturgic.ro



Ἕτερος προσετέθη εἰς τὸν ἅγιον ἱερομάρτυρα καὶ θαυματουργὸν Χαραλάμπην. Ποίημα Ἰωάσαφ Μοναχοῦ.

„ Μετὰ τὸν Εὐλογητὸν, καὶ τὰ λοιπὰ, τὰ παρόντα· ἦχος δ'.

Τῇ Θεοτόκῳ ἐκτενῶς.

Τῷ ἀθλοφόρῳ Χαραλάμπει προσέλθωμεν, καὶ τῇ εἰκόνι τῇ αὐτοῦ προσκυνήσωμεν, ἀπὸ καρδίας κράζοντες ἐκ βάθους ψυχῆς, μάρτυς συμπαθέσατε καὶ φιλεύσπλαγχνε πάτερ, πάσης περιστάσεως καὶ κινδύνων παντοίων, τοὺς σοὺς οἰκέτας λύτρωσαι ἡμᾶς, τοὺς τῷ ναῷ σου ἀεὶ προσεδρεύοντας.

Δόξα. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ὁ ἐναθλήσας ἀνδρικῶς πρὸς ἀγῶνας, καὶ μαρτυρίου ἐνδυσάμενος στέφος, ἱερομάρτυς ἔνδοξε Χαράλαμπες, λύτρωσαι τοὺς δούλους σου, λοιμικῆς ἀσθενείας, πάσης τε κακώσεως, συμφορῶν καὶ κινδύνων, τοὺς μετὰ πόθου ἅγιε τὸ σὸν, προσκαλουμένους θαυμάσιον ὄνομα. Καὶ νῦν.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν. Ὁ Ν.

Ὠιδὴ ά. Ὑγρὰν διοδεύσας.

Ὑπάρχων ἐν πλήθει τῶν συμφορῶν, λοιμοῦ τοῦ πανώλους, καὶ κινδύνων παντοδαπῶν, πρὸς σὲ μετὰ πίστεως κραυγάζω, ἵνα ῥυσθῶ σαῖς πρεσβείαις Χαράλαμπες.

Ναοὺς τῶν εἰδώλων καταβαλὼν, ναὸς θεῖος ὤφθης, καὶ πηγὴ σὺ θαυματουργὸς, διώκτης πανώλους ὀλεθρίου, καὶ συμφορῶν δυσχερῶντε Χαράλαμπες.

Ὡς θύτης καὶ μάρτυς τοῦ Ἰησοῦ, ἔχων παῤῥησίαν, σαῖς πρεσβείαις ῥῦσαι ἡμᾶς, πανώλους δεινῆς τε καὶ κινδύνων, καὶ συμφορῶν δυσχερῶντε Χαράλαμπες.



Τὴν μόνην ἀπείρανδρον καὶ ἁγνὴν, ὑπὲρ τῶν σῶν δούλων, καθικέτευσον ἱερὲ, πανώλεος βλάβης ἵνα ῥύσῃ, καὶ συμφορῶν δυσχερῶν τε Χαράλαμπες.

Ὠιδὴ γ'. Οὐρανίας ἀψῖδος.

Χαλεπῶν νοσημάτων, καὶ συμφορῶν κύμασιν, ἐκ τῆς ἁμαρτίας δικαίως πάντες πεπτώκαμεν, ἀλλὰ καὶ εἰς πανώλη δεινὴν, θερμαῖς σου πρεσβείαις, πάντων τούτων λύτρωσαι, θεῖε Χαράλαμπες.

Ἀσθενούντων ἑτοίμη, ἐκ λοιμικῆς ἴασις, καὶ κινδυνευόντων ταχεῖα ὤφθης ἀντίληψις, καὶ λυπουμένων χαρὰ, ὅθεν ἡμᾶς σαῖς πρεσβείαις, πάντων τούτων λύτρωσαι, θεῖε Χαράλαμπες.

Ἀῤῥωστίας παντοίας, ἐπιβουλῆς δαίμονος, θλίψεως καὶ λύμης, δεινῆς πανώλους καὶ μάστιγος, ἐπιφορῶν χαλεπῶν, πάντας ἡμᾶς σαῖς πρεσβείαις, πάντων τούτων λύτρωσαι, θεῖε Χαράλαμπες.

Ὀλεθρίου πανώλους, καὶ τῶν δεινῶν Πάναγνε, πάσης ἄλλης βλάβης, κινδύνων καὶ περιστάσεων, ταῖς Χαραλάμπους λιταῖς, πάντας ἡμᾶς σαῖς πρεσβείαις, πάντων τούτων λύτρωσαι κόρη Θεόνυμφε.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου ἀθλοφόρε, ὅτι πάντες σε ἐν δεινοῖς ἀεὶ προβαλλόμεθα, ὡς πρέσβυν πρὸς τὸν Θεὸν καὶ σωτῆρα.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε.

„ Καὶ μνημονεύει ὁ ἱερεύς. Εἶτα τὸ παρόν.

Πρεσβεία θερμή.

Πρεσβείαις ταῖς σαῖς, ἀπαύστοις πρὸς τὸν Κύριον, πανώλους δεινῆς, κινδύνων τε



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



καὶ θλίψεων, ἐκ πανώλους λύτρωσαι, τοὺς πιςῶς ἐπὶ σοὶ προςρέχοντας, καὶ τῶν παγίδων ῥῦσαι τοῦ ἐχθροῦ πολύαθλε μέγιςε Χαράλαμπες.

Ὠιδὴ δ΄. Εἰσακήκοα Κύριε.

Λειτουργὸν σε ἰσάγγελον, ὁμολογητήν τε Χριςὸς ἀνέδειξε, καὶ πανώλους ἀῤῥωςότατον ἰατῆρα, μέγιςε Χαράλαμπες.

Ἀσθενοῦντα με ἴασαι, ἐν κινδύνοις ὄντα με σὺ ἐξάρπασον, καὶ πανώλους ἐλευθέρωσον, ςαῖς πρεσβείαις μέγιςε Χαράλαμπες.

Μεγαλύνων ὁ Κύριος, σὲ ἐν κόσμῳ ἅπαντι χάριν δέδωκε, τοῦ ἴασθαι τὰ νοσήματα, καὶ πανώλη μέγιςε Χαράλαμπες.

Ἰατῆρα σὲ ἔγνωμεν, τῆς δεινῆς πανώλους καὶ περιςάσεως, προςασίαις τῆς Θεόπαιδος, καὶ λιταῖς πρὸς Κύριον Χαράλαμπες.

Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἥκουσι πρὸς σὲ, ἐκ περάτων κόσμου ἅπαντες, οἱ ἐν πανώλει ὄντες καὶ συμφοραῖς, οὓς ἱκεσίαις σαῖς ῥῦσαι μάρτυς Χαράλαμπες.

Τάγμασι συνὼν, τῶν ἁγίων πάντων ἅγιε, ἐντυγχάνων ἀμέσως σὺ τῷ Χριςῷ, ἐκ τῶν κινδύνων με ῥῦσαι μάρτυς Χαράλαμπες.

Ὅλος συμφοραῖς, καὶ κινδύνοις καὶ κακώσεσιν, αὐτὸς ὑπάρχω καὶ πᾶσιν ἄλλοις δεινοῖς, ταῖς σαῖς πρεσβείαις με ῥῦσαι μάρτυς Χαράλαμπες.

Ὥσπερ φοβερὰ, ἡ πανώλης ἡμᾶς Δέσποινα, τρόμῳ πολλῷ συνέχει καὶ ἐκφοβεῖ, ἀλλὰ λιταῖς Χαραλάμπους ῥῦσαι Πανάμωμε.



Ὠιδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ.

Ναμάτοις σου, δαψιλοῖς θεράπευσον, τῆς δεινῆς πανωλεθρίας τὴν λύμην, καὶ τῶν πολλῶν συμφορῶν καὶ κινδύνων, τρικυμιῶν γάρ με ζάλη κατέλαβε, καὶ δέομαι ταῖς σαῖς λιταῖς, καταπράϋνον ταύτην Χαράλαμπες.

Χαρίτωσον τὴν ψυχήν μου ἅγιε, καὶ τὸ ὄμμα τοῦ νοὸς καὶ καρδίαν, καὶ πρὸς τὸ φῶς τῶν Χριςοῦ θελημάτων, τῇ σῇ πρεσβείᾳ παμμάκαρ ὁδήγησον, καὶ δέομαι λοιμοῦ φθορὰν, καταπράϋνον μάρτυς Χαράλαμπες.

Ἀκένωτον θησαυρόν σε ἔγνωμεν, καὶ πηγὴν τῶν ἰαμάτων παμμάκαρ, ὅτι ἐν σοὶ ἐξεχύθη ἡ χάρις, τοῦ θεραπεύειν τὴν νόσον πανώλεος, καὶ δέομαι ταῖς σαῖς λιταῖς, καταπράϋνον ταύτην Χαράλαμπες.

Ἀνύμφευτε, Θεοτόκε δέσποινα, τῶν δεινῶν καὶ συμφορῶν τῆς πανώλους, ταῖς Χαραλάμπους θερμαῖς ἱκεσίαις, πανωλεθρίαν αὐτῆς διασκέδασον, καὶ δέομαι δεινὴν φθορὰν, καταπράϋνον ταύτης Πανύμνητε.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου ἀθλοφόρε, καὶ ἐκ πανώλους καὶ παθῶν τοὺς σοὶ καταφεύγοντας, ὡς ἔνθεος πρὸς Χριςὸν ἡμῶν πρέσβυς.

Ἄχραντε ἡ διὰ λόγου τὸν λόγον ἀνερμηνεύτως.

„ Καὶ μνημονεύει ὁ ἱερεύς. Εἶτα τὸ παρόν.

Προςασία τῶν Χριςιανῶν.

Ὡς μαρτύρων καὶ ὁμολογητῶν ἀκροθήνιον, ἐν διπλοῖς τοῖς ςεφάνοις Χριςός σε κατέςεψε, μεγαλύνων τοῖς θαύμασιν ἀπείροις ἐν τῇ γῇ, ἀλλ᾽ ὡς χάριν παρὰ τοῦ Κυρίου σου δεξάμενος, ἡμῖν τοῖς πιςῶς σοι προςρέχουσι, δώρησαι τὴν εἰρήνην, βοήθησον ἐν ἀνάγκαις, καὶ ἐν δειναῖς περιφοραῖς, ἱερώτατε Χαράλαμπες.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



„ Προκείμενον. Θαυμαςὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

„ Εὐαγγέλιον, Ζήτει εἰς τὴν Παράκλησιν τοῦ ἁγίου Σεραφείμ.

„ Δόξα, Ταῖς τοῦ ἀθλοφόρου πρεσβείαις.

Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου πρεσβείαις. Ἐλέησόν με ὁ Θεός.

Ὅλην ἀποθέμενοι.

Μέγιςε Χαράλαμπες, ἱερουργὲ τοῦ Κυρίου, αἷμά σου τὸ τίμιον, ὅπερ σὺ ἐξέχεας ὑπὲρ πίςεως, τῷ Χριςῷ προσέφερες ὑπὲρ οἰκετῶν σου, τῶν ἐν νόσοις καὶ κακώσεσι, δεινῆς πανώλεος, περιςατουμένων ἀθρόως τε, αὐτὸν ἐκδυσωπούμενος, ὅπως ἀπαλλάξῃ τῶν θλίψεων, καὶ τῆς σωζομένων μερίδος ἀξιώσῃ καὶ χαρᾶς, ἔνθα εὐφραίνονται δίκαιοι, σὺν Ἀγγέλων τάγμασιν.

„ Ὁ ἱερεύς, Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ τὰ λοιπά.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ῥυσθῆναι ἀοράτων, ὁρατῶν τε ἐχθίςων τῶν πολεμούντων ἡμᾶς, παμμάκαρ ἐκδυσώπει Χριςὸν, καὶ ἐκ κινδύνων, καὶ φθορᾶς τῆς πανώλεος, ταῖς σαῖς ἱερομάρτυς Χαράλαμπες πρεσβείαις.

Ἱδρῶσι σου γενναίοις κατέβαλου τοὺς λάτρας τοὺς τῶν εἰδώλων δεινοὺς, Χριςὸς δέ σοι τὴν χάριν, θαυμάτων ἐδεδώκει, ἰατρεύειν νοσήματα, ταῖς σαῖς ἱερομάρτυς Χαράλαμπες πρεσβείαις.

Τὰ πλήθη ὀρθοδόξων, συνεχόμενα θλίψει ἐκ τῆς πανώλους δεινῆς, πρὸς σὲ μετ᾽ εὐλαβείας, καὶ πόθου ἐκβοῶμεν, ἵνα ῥύσῃ κακώσεως, ταῖς σαῖς ἱερομάρτυς Χαρ᾽λαμπες πρεσβείαις.

Σωθῆναι τῶν κινδύνων, συμφορῶν πανταχόθεν καὶ ἐκ πανώλους δεινῆς,



ἡμᾶς τοὺς σοὺς οἰκέτας, Χριςὸν σὺν τῇ τεκούσῃ εὐμενῶς ἐκδυσώπησον, ταῖς σαῖς ἱερομάρτυς Χαράλαμπες πρεσβείαις.

Ὠδὴ η΄. Τὸν βασιλέα τῶν οὐρανῶν.

Ὁ τῶν θαυμάτων παρὰ Κυρίου τὴν χάριν εἰληφὼς πᾶσαν νόσον καὶ λύμην, δίωξον εὐχαῖς σου, Χαράλαμπες τρισμάκαρ.

Βάλλει σοὺς δούλους ὁ πονηρὸς ἐν ποικίλαις, ἀσθενείαις δειναῖς, ἀλλὰ ταύτας, δίωξον εὐχαῖς σου, Χαράλαμπες τρισμάκαρ.

Ῥοὴν τῆς νόσου καὶ πανωλέθρου πανώλους, συμφορὰς καὶ δεινὰς περιςάσεις, δίωξον εὐχαῖς σου, Χαράλαμπες τρισμάκαρ.

Ἅπασαν βλάβην, ἐκ τῶν ψυχῶν καὶ σωμάτων, καὶ δεινὴν συμφορὰν τῆς πανώλους, δίωξον λιταῖς σου, Μαρία Θεοτόκε.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ὑπὸ παντοίων νόσων, τοὺς κατεχομένους, καὶ εὐλαβῶς προσελθόντας τεμένει τῷ σῷ, ταῖς σαῖς λιταῖς πάντας ῥῦσαι μάρτυς Χαράλαμπες.

Τῆς πανωλέθρου λύμης, πάσης ἀσθενείας, ἐπιβουλῆς ψυχοφθόρου ἐχθρῶν πονηρῶν, ταῖς σαῖς λιταῖς πάντας ῥῦσαι μάρτυς Χαράλαμπες.

Ὁ πάντας διασώζων, σὲ προσκαλουμένους, καὶ νῦν ἡμᾶς συμπτωμάτων καὶ πάσης ἄλλης φθορᾶς, ταῖς σαῖς πάντας ῥῦσαι μάρτυς Χαράλαμπες.

Φθορᾶς τῆς κατωδύνου, τοὺς πιςούς σου δούλους, δεινῆς πανώλεος ταῖς Χαραλάμπους εὐχαῖς, καὶ σαῖς λιταῖς πάντας ῥῦσαι Κόρη πανάμωμε.

„ Ἄξιόν ἐςιν ὡς ἀληθῶς. Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν.

„ Καὶ τὰ παρόντα Μεγαλυνάρια τοῦ ἁγίου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Ὡς Νειλῷα ῥεῖθρα, οὕτω τὰ σὰ πλήθη τῶν θαυμάτων, τοὺς προσρέχοντας εὐλαβῶς θείῳ σου τεμένει, ποτίζουσιν ἀφθόνως, ἰώμενος τὰς νόσους πάντων Χαράλαμπες.

Πάντες οἱ ποθοῦντες ἐκ λοιμικῆς, καὶ ἀπὸ κινδύνων, λυτρωθῆναι καὶ συμφορῶν, κράζωμεν ἐκ πόθου, τὸν θεῖον Χαραλάμπην, ληψόμενοι πλουσίως πάντων ἀνάῤῥυσιν.

Ῥῦσαι τοὺς προσρέχοντας ἐπὶ σὲ, καὶ σοῦ τὴν εἰκόνα, προσκυνοῦντας πανευλαβῶς, πάσης καταδίκης, Χαράλαμπες τρισμάκαρ, καὶ θείας βασιλείας τυχεῖν ἀξίωσον.

Οὐκ ἔχομεν ἄλλον πρὸς τὸν Θεὸν, πρέσβυν λυτρωτήν τε, ἀσθενείας τῆς λοιμικῆς, εἰμὴ σὲ τὸν θεῖον, Χριςοῦ τὸν ἀθλοφόρον, Χαραλάμπην ἐν ὕμνοις πάντες τιμήσωμεν.

Φύλαττε καὶ σκέπε ταῖς σαῖς λιταῖς, Χαράλαμπες μάρτυς, ὡς τὴν χάριν ταύτης λαβὼν, ἡμᾶς ἐκ παντοίας, νόσου πανωλεθρίας, καὶ λοιμικοῦ θανάτου πάντας ἐξάρπασον.

„ Καὶ ἄλλων ἁγίων, ὅσα βούλῃ, ζήτει εἰς τὴν Παράκλησιν τῆς Θεοτόκου.

Εἶτα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ ςρατιαὶ, Πρόδρομε Κυρίου.

„ Τρισάγιον, καὶ τὰ λοιπά. Τὸ Ἀπολυτίκιον τῆς ἡμέρας.

„ Δόξα, τὸ παρὸν τοῦ ἁγίου. Ἦχος δ'.

Ὡς ςύλος ἀκλόνητος τῆς Ἐκκλησίας Χριςοῦ, καὶ λύχνος ἀείφωτος τῆς οἰκουμένης σοφὲ, ἐδείχθης Χαράλαμπες, ἔλαμψας ἐν τῷ κόσμῳ, διὰ τοῦ μαρτυρίου, ἔλυσας καὶ εἰδώλων τὴν σκοτόμαιναν μάκαρ, διὸ ἐν παῤῥησίᾳ Χριςῷ, πρέσβευε σωθῆναι ἡμᾶς.

Καὶ νῦν.



Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

„ Ὁ ἱερεὺς, Ἐλέησον ἡμᾶς ὁ Θεός. Καὶ τὰ λοιπά. Καὶ Ἀπόλυσις.

„ Εἰς τὴν προσκύνησιν τῆς εἰκόνος τοῦ ἁγίου.

### Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Πάντων προςατεύεις ἀθλητὰ τῶν ἀσπαζομένων ἐν πίςει, εἰκόνα θείαν τὴν σὴν, καὶ ἐν κατανύξει σε ἱκετευόντων ἀεὶ, ἀθλοφόρε Χαράλαμπες, λιταῖς σου ταῖς θείαις, παῦσον τὸ κλυδώνιον τὸ καθ' ἡμῶν τῶν δεινῶν, ῥῦσαι καὶ γεέννης σοὺς δούλους, καὶ τῆς οὐρανῶν βασιλείας κληρονόμους ποίησον δεόμεθα.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

„ Τῷ συντελεςῇ δόξα Θεῷ καὶ χάρις.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ